# <u>Παρακλητικός Κανών στην Αγία Οσιομάρτυρα Θεοδώρα την εν Βάστα Πελοποννήσου</u>

**Ποίημα Γερασίμου Μοναχού Μικραγιαννανίτου**




**Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.**
**Ὁ Ἀναγνώστης: Ἀμήν.**

**Ψαλμός ρμβ᾽ (142)**
Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τή ἀληθεία σου, εἰσάκουσόν μου ἐν τή δικαιοσύνη σού• καί μή εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι
οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν

ἔπ ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα
πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί.
Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου μή ἀποστρέψης τό πρόσωπόν σου ἄπ ἐμοῦ, καί ὁμοιωθήσομαι
τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοΐ ἤλπισα• γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ἤ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μού•
ἐξελού μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μού• τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθεία.
Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ, ἐν τή δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας
τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ά'. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος γ'. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ'. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.
Τῶν δωρεῶν τῶν θεϊκῶν ἐντρυφῶσα, Ὁσιομάρτυς τοῦ Χριστοῦ Θεοδώρα, ὑπέρ ἡμῶν ἱκέτευε δεόμεθα, ὅπως λυτρωθείημεν, πειρασμῶν καί κινδύνων, καί παντοίων θλίψεων,
οἱ τῷ θείω ναῷ σου, μετά σπουδῆς προστρέχοντες ἀεί, καί τήν θερμήν σου, αἰτοῦντες βοήθειαν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίω Πνεύματι. χριστιανος.gr
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον
Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀναξιοι• εἰ μή γάρ σύ προίστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως
νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ• σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ψαλμός ν' (50)**
Ἐλέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημα μου•επί πλεῖον πλῦνον μέ ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας
μοῦ καθάρισον μέ. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διαπαντός. Σοί

μόνω ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα,
ὅπως ἄν
δικαιωθῇς ἐν τοῖς λόγοις σου, καί νικήσης ἐν τῷ
κρίνεσθαι σέ. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν
ἁμαρτίαις ἐκίσσησε μέ ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν
ἠγάπησας,
τά ἄδηλα καί τά κρύφια της σοφίας σου ἐδήλωσας μοί.
Ραντιεῖς μέ ὑσσώπω, καί καθαρισθήσομαι, πλυνεῖς μέ,
καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοί
ἀγαλλίασιν καί
εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀποστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου
καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν
καθαράν κτίσον
ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς
ἐγκάτοις μου. Μή ἀπορρίψης μέ ἀπό τοῦ προσώπου σου
καί τό πνεῦμά σου τό ἅγιον μή ἀντανέλης ἄπ ἐμοῦ.
Ἀπόδος
μοί τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι
ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς
σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ρύσαι μέ ἐξ
αἱμάτων ὁ Θεός,
ὁ Θεός τῆς σωτηρίας μου•αγαλλιάσεται ἡ γλῶσσά μου
τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί
τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εἰ
ἠθέλησας θυσίαν,
ἔδωκα ἄν•ολοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ
Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην
καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε,
ἐν τή εὐδοκία σου τήν Σιῶν, καί οἰκοδομηθήτω τά τείχη
Ἰερουσαλήμ• τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,

ἀναφοράν καί ὁλοκαυτώματα• τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριον
σού μόσχους.

**Εἶτα ψάλλομεν τάς Ὠδᾶς τοῦ Κανόνος.**

Ὠδή ἅ'. Ἦχος πλ. δ'. Ὑγρᾶν διοδεύσας.
Βραβείων τυχοῦσα ὑπερφυῶν, μή παύση βραβεύειν τοῖς προστρέχουσιν εὐλαβῶς, τῷ θείῳ ναῷ σου Θεοδώρα, τάς δωρεᾶς τῆς θερμῆς προστασίας σου.

Ὁσία καί μάρτυς πανευκλεής, Χριστοῦ Θεοδώρα, καθικέτευε ἐκτενῶς, διδόναι συγχώρησιν πταισμάτων, καί ἱλασμόν τοῖς πιστῶς σέ γεραίρουσιν.

Ἡλίου λαμπρότησι νοητοῦ, καταλαμπομένη, Θεοδώρα ἐν οὐρανοῖς, ψυχῆς μου διαλυσον τόν ζόφον, ταῖς φωτοφόροις πρεσβείαις σου ἔνδοξε. χριστιανος.gr

Θεοτοκίον
Θεόν τόν ἀσώματον ἐν σαρκί, τεκοῦσα Παρθένε, ἀπορρήτως δίχα τροπῆς, σαρκός μου θεράπευσον τό ἄλγος, καί τῆς ψυχῆς μου τήν λύπην ἀφάνισον.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος
Οὐρανόθεν Ἁγία, ὡς συμπαθής προσβλεψον, ἐπί τούς φοιτῶντας ἐν πίστει, τῷ θείῳ οἴκῳ σου, καί τά αἰτήματα, πλήρου αὐτῶν Θεοδώρα, ταῖς πρός τόν νυμφίον σου, θείαις
ἐντεύξεσι.

Σωτηρίαν ἐξαίτει, καί τῶν παθῶν ἴασιν, καί πολυειδῶν συμπτωμάτων, τήν ἀπολύτρωσιν, καί πάσης θλίψεως, ἀπαλλαγήν Θεοδώρα, καί χαράν τήν ἔνθεον, τοῖς εὐφημούσι σέ.
Ἡ θερμή σου πρεσβεία, πρός τόν Χριστόν πανσεμνέ, γένοιτο ἡμίν εὐφροσύνης, πηγή τῆς κρείττονος δρόσον παρέχουσα, καί γλυκασμόν Θεοδώρα, τοῖς ἐν λύπαις στένουσι,
φθόνω τοῦ ὄφεως.

Θεοτοκίον
Μητροπάρθενε Κόρη, ἡ τόν Θεόν τέξασα, τόν τήν ἁμαρτίαν τοῦ κόσμου, ἐξαφανίσαντα, δεσμῶν μέ λύτρωσαι, τῆς χαλεπῆς ἁμαρτίας, καί τόν νοῦν μου, λάμπρυνον, φωτί τῆς
χάριτος.

Διασωσον ταῖς πρός Χριστόν σου πρεσβείαις Ὁσιομάρτυς, πάσης βλάβης καί χαλεπῆς περιστάσεως, τούς εὐλαβῶς προσιόντας σοί Θεοδώρα.

Ἐπιβλεψον ἐν εὐμενεία, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Αἴτησις καί τό Κάθισμα.**

Ἦχος β'. Πρεσβεία θερμή.
Θεοῦ δωρεῶν, ἐπώνυμος τυγχάνουσα, παρέχεις ἀεί, τάς θεοσδότους χάριτας, τοῖς τῷ ναῶ σου σπεύδουσι, Θεοδώρα καί πίστει βοῶσι σοί · μή διαλίπης πρεσβεύειν Χριστῷ,
διδόναι ἡμίν τό θεῖον ἔλεος.

Ὠδή δ'. Εἰσακήκοα Κύριε
Μάρτυς ὤφθης περιδοξος, ὑπέρ ἀληθείας τό αἷμα χέασα διά τοῦτο δυσωποῦμεν σέ · ψεύδους καί ἀπάτης ἡμᾶς λύτρωσαι.

Ἰατήριον γίνεται, πίστει λαμβανόμενον καλλιπάρθενε, τό ἐγγύς του θείου οἴκου σου, ἀναβλύζον ὕδωρ τή σή χάριτι.

Νοσημάτων ἁπάλλαξον, τῶν κατά ψυχήν καί σῶμα δεόμεθα, Θεοδώρα τούς τιμώντας σέ, ὡς Χριστοῦ κλεινήν Ὁσιομάρτυρα.

Θεοτοκίον
Ὡς Θεόν σωματώσασα, καί μετά τόν τόκον ἄφθορος μείνασα, Θεοτόκε Ἀειπάρθενε, ἐκ φθοροποιῶν παθῶν μέ λύτρωσαι.

Ὠδή ἑ'. Φώτισον ἡμᾶς
Θραῦσον τοῦ ἐχθροῦ, κάθ᾽ἡμῶν τά μηχανήματα, Θεοδώρα τή θερμή σου ἀρωγή, ἐν εἰρήνη τήν ζωήν ἡμῶν φυλάττουσα.

Ἔπιδε ἡμίν, συμπαθείας Μῆτερ ὄμματι, καί παρασχου θεοσδότους παροχάς, Θεοδώρα τοῖς ἐν θλίψεσιν ὑπάρχουσιν.

Ὅρμος νοητός, ὁ ἐν Βάστα θεῖος οἶκος σου, Θεοδώρα ἀνεδείχθη ἀληθῶς, τοῖς ἐν κύμασι τοῦ βίου προσπαλαίουσι.

Θεοτοκίον
Δίδου μοί Ἁγνή, τήν ταχείαν σου βοήθειαν, καί ἀπάλλαξον μανίας τοῦ ἐχθροῦ, ὑπό τούτου θλιβομένην τήν καρδίαν μου.

Ὠδή στ'. Τήν δέησιν
Ὡς ἤθλησας, στερροψύχως Ὁσία, δωρεῶν ἐπουρανίων ἐπλήσθης · ὅθεν ἐκπλήττεις πιστῶς Θεοδώρα, τή ἐνοικούση τῷ θείῳ τεμένει σου, χάριτι θεία καί ροπή, δί'ἧς σώζεις
τους σέ μακαρίζοντας.

Ροαίς σου τῶν ἐκχυθέντων αἱμάτων, πηγή ἔβλυσεν ἀφθόνων ὑδάτων ὅθεν ἡμίν ζωῆς βλύσον τό νάμα, καί ἀπαθείας τό ὕδωρ τό ἥδιστον, ταῖς πρός Θεόν σαῖς προσευχαῖς,
Θεοδώρα σεμνή καλλιπάρθενε.

Ἀγγέλων, συνηδομένη τοῖς δήμοις, μή ἐλλίπης ἐποπτεύουσα Μῆτερ, τούς ἐν τῷ θείῳ ναῷ σου νῦν ἐν Βάστα, ἐκ διαφόρων χωρίων καί πόλεων, συντρέχοντας

πανευλαβῶς,
καί τήν σήν ἐξαιτούντας ἀντίληψιν.

Θεοτοκίον
Ἐτέχθη, ἐκ τῆς ἀχράντου γαστρός σου, ὁ τά πάντα ἐκ μή ὄντων ποιήσας, καί τῶν βροτῶν τήν φθαρεῖσαν οὐσίαν, ἀνακαινίσας δί'ἔλεος ἄφατον ὄν καθικέτευε Ἁγνή, τήν
φθαρεῖσαν καινίσαι καρδίαν μου.

Διασωσον ταῖς πρός Χριστόν σου πρεσβείαις Ὁσιομάρτυς, πάσης βλάβης καί χαλεπῆς περιστάσεως, τούς εὐλαβῶς προσιόντας σοί Θεοδώρα.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἔπ'ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

**Αἴτησις καί τό Κοντάκιον.**

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Ὁσιομάρτυς Κυρίου πανεύφημε, τῶν δωρεῶν τῶν ἐνθέων ἐπώνυμε, ἀπαύστως Χριστόν καθικέτευε, παντός κινδύνου καί θλίψεως ρύεσθαι, τούς σέ Θεοδώρα γεραίροντας.

Προκείμενον.
Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοί.
Στίχ. Καί ἔστησαν ἐπί πέτραν τούς πόδας μου, καί

κατηύθυνε τά. Διαβήματά μου.

**Εὐαγγέλιον. Ἐκ τοῦ κατά Μάρκον. (ε΄. 4-34)**
Τῷ καιρῷ ἐκείνω, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καί συνέθλιβον αὐτόν. Καί γυνή τίς οὖσα ἐν ρύσει αἵματος ἔτη δώδεκα, καί πολλά παθοῦσα ὑπό πολλῶν ἰατρῶν καί
δαπανήσασα τά πάρ΄ἑαυτῆς πάντα, καί μηδέν ὠφεληθεῖσα, ἀλλά μᾶλλον εἰς τό χεῖρον ἐλθοῦσα, ἀκούσασα περί τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλω ὄπισθεν ἥψατο τοῦ ἱματίου
αὐτοῦ· ἔλεγεν γάρ ἐν ἑαυτή ὅτι ἐάν ἄψωμαι καν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι, καί εὐθέως ἐξηράνθη ἡ πηγή τοῦ αἵματος αὐτῆς, καί ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπό τῆς
μάστιγος, καί εὐθέως ὁ Ἰησοῦς ἐπιγνούς ἐν ἑαυτῶ τήν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεῖς ἐν τῷ ὄχλω ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; Καί ἔλεγον αὐτῶ οἱ μαθηταί
αὐτοῦ· βλέπεις τόν ὄχλον συνθλίβοντα σέ, καί λέγεις τίς μου ἥψατο; Καί περιεβλέπετο ἰδεῖν τήν τοῦτο ποιήσασαν, ἡ δέ γυνή φοβηθεῖσα καί τρέμουσα, εἰδυία ὁ γέγονεν ἔπ΄αὐτή,
ἦλθε καί προσέπεσεν αὐτῶ καί εἶπεν αὐτῶ πάσαν τήν ἀλήθειαν, ὁ δέ εἶπεν αὐτή· θύγατερ, ἡ πίστις σου σέσωκε σέ· ὕπαγε εἰς εἰρήνην, καί ἴσθι ὑγιής ἀπό τῆς μάστιγός σου.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ταῖς τῆς σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον.
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι
Στίχος: Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

Δῶρον ὡς εὐπρόσδεκτον, προσανεχθεῖσα Κυρίῳ, βίου καθαρότητι, καί Μαρτύρων αἵματι καλλιπάρθενε, δωρεῶν μέτοχος, ὤφθης οὐρανίων διά τοῦτο σου δεόμεθα·
πάσης στενώσεως, καί ἐπιφορᾶς καί κακώσεως, ἀτρώτους διαφύλαττε, τούς εἰλικρινῶς σέ γεραίροντας, ταῖς σαῖς ἱκεσίαις, θεοφρον Θεοδώρα πρός Χριστόν, οὗ τῷ φωτί
καταλάμπρυνον, Μῆτερ τάς ψυχᾶς ἡμῶν.

**Ὁ Ἱερεύς:**
Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σού• ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καί καταπεμψον
ἐφ' ἡμᾶς τά ἐλέη σου τά πλούσια• πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας• δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ• προστασίαις

τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων•
ἰκεσίαις τοῦ Τιμίου καί Ἐνδόξου Προφήτου, Προδρόμου
καί Βαπτιστοῦ Ἰωάννου• τῶν ἁγίων ἐνδόξων καί
πανευφήμων Ἀποστόλων•
ὧν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί
οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου,
Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ
Χρυσοστόμου, Ἀθανασίου καί
Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμμονος, πατριαρχῶν
Ἀλεξανδρείας. Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος
ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυματουργῶν• τῶν
ἁγίων ἐνδόξων
μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου,
Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τύρωνος καί
Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καί
Ἐλευθερίου, τῶν ἁγίων
ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τῶν ὁσίων καί
θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων
θεοπατόρων Ἰωακείμ καί Ἄννης. Τῆς ἁγίας ὁσιομάρτυς
Θεοδώρας τῆς ἐν
Βάστα Πελοποννήσου Τοῦ ἁγίου ....... (τῆς ἡμέρας), καί
πάντων σου τῶν Ἁγίων. Ἰκετεύομεν σέ, μόνε πολυέλεε
Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων
σου
καί ἐλέησον ἡμᾶς.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας
Συντριβεῖς τή κακία, τή θερμή σου πρεσβεία
προστρέχω πανσεμνέ σύ οὖν ταλαιπωρίας, δεινῆς

ἀπάλλαξον μέ, καί ζωῆς μοί βελτίωσιν, ἐξαίτει παρά Χριστοῦ, θεοφρον Θεοδώρα.

Οἱ τῷ θείω ναῷ σου, καταφεύγοντες πίστει θερμή λαμβάνουσιν, ὑγείαν τήν κάτ᾿ἄμφω, καί λύσιν πάσης λύπης, Θεοδώρα πρεσβείαις σου · σύ γάρ παρέχεις ἀεί, τοῖς πάσι θείας
δόσεις.

Γεωργήσασα Μῆτερ, τούς καρπούς ἀπαθείας τή πολιτεία σου, παθῶν τῶν ἀκαθάρτων, καί νόσων καί σκανδάλων, ἀνωτέρους διάσωζε, τούς σέ τιμώντας πιστῶς, σεμνή
Ὁσιομάρτυς.

Θεοτοκίον
Ἐπιφάνηθι Κόρη, νοερά ἐπισκέψει τοῖς σέ δοξάζουσι, καί πλήρωσον Παρθένε, ἡμῶν τάς διανοίας, φωτισμοῦ τοῦ τῆς χάριτος, ὡς φωτοφόρος παστάς, τοῦ φωτοδότου Λόγου.

Ὠδή ἡ'. Τόν Βασίλεα
Ρείθροις ἀΰλοις, τῶν θεϊκῶν δωρεῶν σου, καταδρόσισον ἡμῶν τάς διανοίας, Μῆτερ φλεγομένας, παθῶν τή ἐπηρεία.

Ἄνωθεν ἴδε, τούς τῷ ἁγίω ναῷ σου, καταφεύγοντες

Ὁσία Θεοδώρα, καί παρασχου τούτοις, τάς σωτηρίους δόσεις.

Σέ προστασίαν, οἱ ἐν κινδύνοις τελοῦντες, Μάρτυς ἔχοντες λυτρούμεθα τῶν πόνων, καί τήν σήν ὑμνοῦμεν, ὦ Θεοδώρα χάριν.

Ἴασαι Κόρη, τήν ἀσθενοῦσαν ψυχήν μου, καί παρασχου μοί συγχώρησιν πταισμάτων, ταῖς πρός τόν Υἱόν σου, πρεσβείαις Θεοτόκε.

Ὠδή θ'. Κυρίως Θεοτόκον
Μαρτύρων εὐκληρίας, ἤδη ἐντρυφῶσα, τῆς τῶν παθῶν δυστυχίας ἀπάλλαξον, Ὁσιομάρτυς Κυρίου τους σέ γεραίροντας.

Ὁδόν ἡμᾶς βαδίζειν, Μάρτυς Θεοδώρα, τῶν ἐντολῶν τοῦ Σωτῆρος ἐνίσχυσον, ὡς ἄν ζωῆς αἰωνίου ἀξιωθείημεν.

Ὑμνοῦντες σου τόν βίον, Μῆτερ Θεοδώρα, ἀπεκδεχόμεθα πάντες τήν χάριν σου, ἤν ἀεί δίδου τοῖς πίστει σέ μακαρίζουσι.

Θεοτοκίον
Ὑψίστου Λόγου Μῆτερ, Κεχαριτωμένη, ἐξ ἀλογίας τόν νοῦν μου ἀνύψωσον, ἐπινοιῶν ἀκαθάρτων του πολεμήτορος.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν
ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

**Καί τά παρόντα Μεγαλυνάρια**
Ἔρωτι τρωθεῖσα τῷ θεϊκῷ, πάντα τά ἐν κόσμῳ, καταλέλοιπας νουνεχῶς, καί δί' ἐγκρατείας, ἐδούλευσας Κυρίῳ, Ὁσία Θεοδώρα βίου λαμπρότητι.

Ἤμειψας τό σχῆμα γνώμῃ στερρᾷ, καί τήν κλῆσιν ἅμα, καί ἐν τάγματι Μοναστῶν, ὡς ἀνήρ προσῆλθες, καί ᾔσχυνας τόν ὄφιν, Ὁσία Θεοδώρα, πόνοις ἀσκήσεως.

Τήν συκοφαντίαν τήν χαλεπήν, ἤνεγκας ἀνδρείως, Θεοδώρα νύμφη Χριστοῦ, καί τήν κεφαλήν σου, ἀδίκως ἐκτμηθεῖσα, μαρτυρικῶν στεφάνων, ὄντως ἠξίωσαι.

Θαῦμα ὄντως πέλει ὁ σός ναός, ὁ ἐν Βάστα Μῆτερ, τῷ χωρίῳ ἔνθα χοροί, ἐκ τῆς περιοίκου, συρρέοντες προθύμως, λαμβάνουσιν ὑγείαν, ψυχῆς καί σώματος.

Χαίροις τῶν Ὁσίων ἡ κοινωνός · χαίροις τῶν Μαρτύρων, τῶν Ἁγίων ἰσοκλεῆς · χαίροις Θεοδώρα, Χριστοῦ Ὁσιομάρτυς, τῶν Πελλοπονησίων, θεῖον καλλώπισμα.
Κλήρου τά αἰτήματα τῶν πιστῶν, τῶν σπευδόντων

Μάρτυς, τῷ ναῷ σου τῷ ἱερῷ, τῶν ἐν Βάστα ὄντι, καί δίδου Θεοδώρα, ἀπό τῶν δωρεῶν σου, χάριν τοῖς χρήζουσι.

Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

**Τό Τρισάγιον**

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ώς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον
δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ώς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.
Ὁ Ἱερεύς• Ὅτι Σου ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.

**Τά συνήθη τροπάρια, ἐκτενής, ἀπολυτίκιον καί ἀπόλυσις, μέθ᾽ἤν τό ἑξῆς.**
Ἦχος δ'. Ταχύ προκατάλαβε
Ὡς δῶρον πολύτιμον, καί προσφοράν λογικήν, Χριστῷ προσενήνοχας, τῷ ἐπί πάντων Θεῶ, τό αἷμα σου πανσεμνέ. Ὅθεν Ὁσιομάρτυς, Θεοδώρα δυσώπει, ἄφεσιν τῶν
πταισμάτων, καί ψυχῶν σωτηρίαν, δοθῆναι τοῖς εὐφημούσι, τήν θείαν σου ἄθλησιν.

Ἦχος β'. Ὃτε ἐκ τοῦ ξύλου
Πάντας τούς προστρέχοντας πιστῶς, τῷ ἐν Βάστα θείω ναῶ σου, καί τή εἰκόνι σου, εὐλαβῶς προσπίπτοντας, Ὁσιομάρτυς Χριστοῦ, Θεοδώρα ἑκάστοτε ἐκ πάσης ἀνάγκης,
καί νόσων καί θλίψεων, καί βασκανίας δεινῆς, φύλαττε ἀτρώτους λιταίς σου, καί τήν προστασίαν σου δίδου, πάσι τοῖς ὑμνούσι τούς ἀγώνας σου.

Ἦχος πλ. δ'.
Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β'.
Τήν πάσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

**Ὁ Ἱερεύς: Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**

Δίστιχον
Θεοδώρα λύτρωσαι νόσων καί πόνων.
Γεράσιμον σπεύδοντα τή χάριτί σου.